Ακαδημία Αθηνών / Academy of Athens

**ψυχρὸς** (ἀντίθ. *θερμός*) **1.** Ψυχρὸς/κρύος, cold/cool, Ξενοφάνης 1.8 *ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρὸν* Ἡράκλειτος 126 *τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον νοτίζεται* Μέλισσος 8(3) *δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν* Πυθαγόρειοι 1a (DK I 449,22) καλοῦσι δὲ τὸν μὲν ἀέρα *ψυχρὸν αἰθέρα*, τὴν δὲ θάλασσαν *καὶ τὸ ὑγρὸν παχὺν αἰθέρα* Διογένης 5.9-14 *ἔστι γὰρ πολύτροπος (*sc. *ὁ ἀήρ), καὶ θερμότερος καὶ ψυχρότερος... πάντων τῶν ζῴων δὲ ἡ ψυχὴ τὸ αὐτό ἐστιν, ἀὴρ θερμότερος μὲν τοῦ ἔξω ἐν ᾧ ἐσμεν, τοῦ μέντοι παρὰ τῷ ἡλίῳ πολλὸν ψυχρότερος.*|| **τὸ ψυχρόν** (ἀντίθ. *τὸ θερμόν*). Τὸ ψυχρόν, the cold, Ἀναξαγόρας 4.16 *ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χρημάτων, τοῦ τε διεροῦ καὶ τοῦ ξηροῦ καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ* 8 *οὐ κεχώρισται ἀλλήλων τὰ ἐν τῷ ἑνὶ κόσμῳ οὐδὲ ἀποκέκοπται πελέκει οὔτε τὸ θερμὸν ἀπὸ τοῦ ψυχροῦ οὔτε τὸ ψυχρὸν ἀπὸ τοῦ θερμοῦ* 12.23 *ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνὸν καὶ ἀπὸ τοῦ ψυχροῦ τὸ θερμὸν* 15 *τὸ μὲν πυκνὸν καὶ διερὸν καὶ ψυχρὸν καὶ τὸ ζοφερὸν ἐνθάδε συνεχώρησεν* **2.** Ψυχρότης, coldness, Ἀναξαγόρας 16.3 *ἐκ μὲν γὰρ τῶν νεφελῶν ὕδωρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ, ἐκ δὲ τῆς γῆς λίθοι συμπήγνυνται ὑπὸ τοῦ ψυχροῦ.*

**ψυχρότης** (ἀντίθ. *θερμότης*). Ψυχρότης, coldness, Μενέστωρ 4 ἡ μὲν *βλάστησις αὐτῆς (*sc. *τῆς συκαμίνου) ὀψία διὰ τὴν ψυχρότητα τοῦ τόπου*, ἡ δὲ *πέψις ταχεῖα* διὰ τὴν *ἀσθένειαν* Ἀρχέλαος 1a (DK II 48,19) *ἧς (*sc. *τῆς γῆς) ἡ ψυχρότης δεσμός ἐστιν*. Πρβλ. *ψύχεσθαι, ψυχρός, ψῦχος, κρυμός*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ